22112952

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 2**

Tuesday 17 May 2011 (morning)

2 hours

INSTRUCTIONS TO CANDIDATES

- Do not open this examination paper until instructed to do so.
- Answer four questions from two genres only.




© International Baccalaureate Organization 2011

https://xtremepape.rs/

*Answer **four** questions from **two** genres **only**. These questions should be taken from the **two** genres you have studied.*

**Genre: Epic**

**Question 1. Homer *Iliad* 6.440–458**

τὴν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
“ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ᾽ αἰνῶς
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ᾽ ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
ἀλλ᾽ οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ᾽ αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ᾽ ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας·
καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
πόλλ᾽ ἀεκαζομένη, κρατερὴ δ᾽ ἐπικείσετ᾽ ἀνάγκη.”

(a) ἦ καὶ ἐμοὶ … ἐμὸν αὐτοῦ (lines 441–446). Select **two** characteristic features of the heroic ethos which are present in these lines. *[2 marks]*

(b) Translate lines 447–449, εὖ γὰρ ἐγὼ … Πριάμοιο. *[3 marks]*

(c) Scan lines 456–457, καί κεν … Ὑπερείης. *[2 marks]*

(d) How is Hector perceived throughout the passage? Illustrate your answer with **two** quotations from the text. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Epic**

**Question 2. Homer *Iliad* 6.404–424**

ἤτοι ὃ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δάκρυ χέουσα,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε
“δαιμόνιε φθίσει σε τὸ σὸν μένος, οὐδ᾽ ἐλεαίρεις·
παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἣ τάχα χήρη
σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη
σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ᾽ ἄλλη
ἔσται θαλπωρὴ ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς
ἀλλ᾽ ἄχε᾽· οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ.
ἤτοι γὰρ πατέρ᾽ ἁμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάουσαν
Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό γε θυμῷ,
ἀλλ᾽ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν
ἠδ᾽ ἐπὶ σῆμ᾽ ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
νύμφαι ὀρεστιάδες κοῦραι Διὸς αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν
οἳ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
βουσὶν ἐπ᾽ εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσι.”

(a) δαιμόνιε … ὀΐεσσι (lines 407–424). Identify **four** effective aspects of the rhetorical art used by the speaker. Remember to refer closely to the Greek and to explain your choices. *[8 marks]*

(b) περὶ δὲ … αἰγιόχοιο (lines 419–420). Give **two** details about the divine beings mentioned. *[2 marks]*

(c) οἳ δέ μοι … ὀΐεσσι (lines 421–424). Give **two** details about the characteristic features of the Homeric language in these lines. *[2 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 3. Thucydides 2.45–46**

παισὶ δ᾽ αὖ ὅσοι τῶνδε πάρεστε ἢ ἀδελφοῖς ὁρῶ μέγαν τὸν ἀγῶνα (τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν), καὶ μόλις ἂν καθ᾽ ὑπερβολὴν ἀρετῆς οὐχ ὁμοῖοι, ἀλλ᾽ ὀλίγῳ χείρους κριθεῖτε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα καὶ ἧς ἂν ἐπ᾽ ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ.

"εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα· ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν. νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ ἀποχωρεῖτε."

(a) Who are the addressees mentioned specifically in line 1? *[2 marks]*

(b) τὸν γὰρ … τετίμηται (lines 1–4). How convincingly is Thucydides persuading his audience of the value of posthumous fame? In your answer, refer closely to the text. *[3 marks]*

(c) εἰ δέ με … κλέος ᾖ (lines 4–7). How does the Athenian woman appear? Give **two** points with reference to the text. *[2 marks]*

(d) Translate ἆθλα … ἀποχωρεῖτε (lines 11–12). *[3 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 4. Thucydides 2.43.2–5**

κοινῇ γὰρ τὰ σώματα διδόντες ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ᾽ ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι αἰεὶ καὶ λόγου καὶ ἔργου καιρῷ αἰείμνηστος καταλείπεται. ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ᾽ ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται.

οὓς νῦν ὑμεῖς ζηλώσαντες καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον, τὸ δ᾽ ἐλεύθερον τὸ εὔψυχον κρίναντες μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστιν ἀγαθοῦ, ἀλλ᾽ οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ μετὰ τοῦ [ἐν τῷ] μαλακισθῆναι κάκωσις ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος.

(a) Explain the phrase τὸν ἀγήρων ἔπαινον (line 1) in the context of the opening sentence. *[2 marks]*

(b) What is the significance of the phrase ἀνδρῶν ἐπιφανῶν πᾶσα γῆ τάφος (lines 3–4)? *[2 marks]*

(c) What do you think makes the rhetorical force of this extract so powerful? Refer closely to the text when illustrating any **four** significant points. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 5. Sophocles *Oedipus Tyrannus* 408–425**

**Τε.** εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ᾽ ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ·
ὥστ᾽ οὐ Κρέοντος προστάτου γεγράψομαι.
λέγω δ᾽, ἐπειδὴ καὶ τυφλόν μ᾽ ὠνείδισας·
σὺ καὶ δέδορκας κοὐ βλέπεις ἵν᾽ εἶ κακοῦ,
οὐδ᾽ ἔνθα ναίεις, οὐδ᾽ ὅτων οἰκεῖς μέτα.
ἆρ᾽ οἶσθ᾽ ἀφ᾽ ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε κἀπὶ γῆς ἄνω,
καί σ᾽ ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ᾽ ἐκ γῆς τῆσδε δεινόπους ἀρά,
βλέποντα νῦν μὲν ὄρθ᾽, ἔπειτα δὲ σκότον.
βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμήν,
ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνει κακῶν,
ἅ σ᾽ ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.

(a) Briefly explain why Teiresias is speaking at this point in the play. *[2 marks]*

(b) Explain in its context the expression προστάτου γεγράψομαι (line 411). *[2 marks]*

(c) ἆρ᾽ οἶσθ᾽ … σκότον (lines 415–419). Show how Teiresias' use of language conveys the gravity of Oedipus' situation. Give **three** examples from the text. *[3 marks]*

(d) Explain the allusions to Κιθαιρὼν (line 421), τὸν ὑμέναιον (line 422), and τοῖς σοῖς τέκνοις (line 425). *[3 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 6. Sophocles *Oedipus Tyrannus* 46–64**

ἴθ᾽, ὦ βροτῶν ἄριστ᾽, ἀνόρθωσον πόλιν,
ἴθ᾽, εὐλαβήθηθ᾽· ὡς σὲ νῦν μὲν ἥδε γῆ
σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνῴμεθα
στάντες τ᾽ ἐς ὀρθὸν καὶ πεσόντες ὕστερον.
ἀλλ᾽ ἀσφαλείᾳ τήνδ᾽ ἀνόρθωσον πόλιν·
ὄρνιθι γὰρ καὶ τὴν τότ᾽ αἰσίῳ τύχην
παρέσχες ἡμῖν, καὶ τανῦν ἴσος γενοῦ.
ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν·
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.
**Οἰ.** ὦ παῖδες οἰκτροί, γνωτὰ κοὐκ ἄγνωτά μοι
προσήλθεθ᾽ ἱμείροντες· εὖ γὰρ οἶδ᾽ ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν᾽ ἔρχεται
μόνον καθ᾽ αὑτὸν κοὐδέν᾽ ἄλλον, ἡ δ᾽ ἐμὴ
ψυχὴ πόλιν τε κἀμὲ καὶ σ᾽ ὁμοῦ στένει.

(a) Explain the significance of the clause ὡς σὲ νῦν μὲν ἥδε γῆ σωτῆρα κλῄζει (lines 47–48), in its context. *[2 marks]*

(b) Scan lines 59–60, προσήλθεθ᾽ … ὡς ἐγὼ. *[2 marks]*

(c) Identify, in the whole extract **four** stylistic devices, which, in your opinion, illustrate Sophocles' literary art. Support your answer with **four** quotations from the Greek text. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 7. Aristophanes *Frogs* 135–151**

**Ἡρ.** τί δαί;
**Δι.** ἥνπερ σὺ τότε κατῆλθες. **Ἡρ.** ἀλλ᾽ ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον. **Δι.** εἶτα πῶς περαιωθήσομαι;
**Ἡρ.** ἐν πλοιαρίῳ τυννουτῳί σ᾽ ἀνὴρ γέρων
ναύτης διάξει δύ᾽ ὀβολὼ μισθὸν λαβών.
**Δι.** φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ᾽ ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε; **Ἡρ.** Θησεὺς ἤγαγεν.
μετὰ ταῦτ᾽ ὄφεις καὶ θηρί᾽ ὄψει μυρία
δεινότατα. **Δι.** μή μ᾽ ἔκπληττε μηδὲ δειμάτου·
οὐ γάρ μ᾽ ἀποτρέψεις. **Ἡρ.** εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀείνων· ἐν δὲ τούτῳ κειμένους,
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ἢ παῖδα κινῶν τἀργύριον ὑφείλετο,
ἢ μητέρ᾽ ἠλόασεν, ἢ πατρὸς γνάθον
ἐπάταξεν, ἢ ᾽πίορκον ὅρκον ὤμοσεν,
ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.

(a) To what does the phrase ὁ πλοῦς πολύς (line 136) refer? *[2 marks]*

(b) Who is ἀνὴρ γέρων (line 139), and why is he mentioned in this context? *[2 marks]*

(c) ὡς μέγα … κἀκεῖσε; (lines 141–142). Explain the sarcasm obvious to an Athenian audience. *[3 marks]*

(d) εἴ που … ἐξεγράψατο (lines 147–151). What social shortfalls are listed? Name and comment briefly on **three** of them. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 8. Aristophanes *Frogs* 1201–1221**

**Εὐ.** ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς; **Αἰ.** ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως ὥστ᾽ ἐναρμόττειν ἅπαν,
καὶ κῳδάριον καὶ ληκύθιον καὶ θύλακον,
ἐν τοῖς ἰαμβείοισι. δείξω δ᾽ αὐτίκα.
**Εὐ.** ἰδού, σὺ δείξεις; **Αἰ.** φημί. **Εὐ.** καὶ δὴ χρὴ λέγειν.
Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχών— **Αἰ.** ληκύθιον ἀπώλεσεν.
**Δι.** τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
λέγ᾽ ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
**Εὐ.** "Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασσὸν κάτα
πηδᾷ χορεύων"— **Αἰ.** ληκύθιον ἀπώλεσεν.
**Δι.** οἴμοι πεπλήγμεθ᾽ αὖθις ὑπὸ τῆς ληκύθου.
**Εὐ.** ἀλλ᾽ οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
"οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὤν"— **Αἰ.** ληκύθιον ἀπώλεσεν.
**Δι.** Εὐριπίδη— **Εὐ.** τί ἔσθ᾽; **Δι.** ὑφέσθαι μοι δοκεῖ·
τὸ ληκύθιον γὰρ τοῦτο πνευσεῖται πολύ.

(a) ἀπὸ ληκυθίου … δ᾽ αὐτίκα (lines 1201–1204). What points about Euripides' poetic diction is Aeschylus trying to establish? *[2 marks]*

(b) Explain the comic effect in the use of the phrase ληκύθιον ἀπώλεσεν (line 1208). *[2 marks]*

(c) Discuss Dionysus' role as a judge in this extract. Illustrate your answer with **four** examples from the text. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 9. Plato *Crito* 43a9–c8**

**Σω.** ἄρτι δὲ ἥκεις ἢ πάλαι;

**Κρ.** ἐπιεικῶς πάλαι.

**Σω.** εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι;

**Κρ.** οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ᾽ ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι, ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω αἰσθανόμενος ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον ἵνα ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ ηὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ συμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.

**Σω.** καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα εἰ δεῖ ἤδη τελευτᾶν.

**Κρ.** καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις συμφοραῖς ἁλίσκονται, ἀλλ᾽ οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

**Σω.** ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῴ ἀφῖξαι;

**Κρ.** ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ᾽ ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσιν καὶ χαλεπὴν καὶ βαρεῖαν, ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ᾽ ἂν ἐνέγκαιμι.

(a) Explain Crito's specific reasons for visiting Socrates so early. *[2 marks]*

(b) Translate οὐ μὰ τὸν Δία … καθεύδεις (lines 4–5). *[3 marks]*

(c) To what does ἀγγελίαν χαλεπήν (line 14) refer? *[2 marks]*

(d) Emphasize the dramatic tension present throughout this extract illustrating your answer with **two** examples. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 10. Plato, *Crito,* 49a2–b11**

**Σω.** οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι, ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσίν, καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει ὥσπερ τότε ἐλέγετο ἡμῖν· εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή, καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν εἴτε καὶ πρᾳότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν ἢ οὔ;

**Κρ.** φαμέν.

**Σω.** οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

**Κρ.** οὐ δῆτα.

**Σω.** οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

(a) οὐδενὶ τρόπῳ … φαμὲν ἢ οὔ (lines 1–9). Summarize Socrates' argument in these lines. Give **four** stylistic devices of the text which help to make it more persuasive. *[8 marks]*

(b) εἴτε φασὶν … παντὶ τρόπῳ (lines 6–8). To whom does οἱ πολλοὶ refer? What connection is established here between οἱ πολλοὶ and Socrates himself? *[2 marks]*

(c) Translate οὐ δῆτα … ἀδικεῖν (lines 12–14). *[2 marks]*



https://xtremepape.rs/